## 67. THE GERASENE DEMONIAC (Matt-Mk Identical)

| Matt 8:28-34 | Mark 5:1-20 |
|---|---|
| *Καὶ ἐλθόντος αὐτοῦ* | *Καὶ ἦλθον* |
| *εἰς τὸ πέραν* | *εἰς τὸ πέραν τῆς θαλάσσης* |
| *εἰς τὴν χώραν τῶν Γαδαρηνῶν* | *εἰς τὴν χώραν τῶν Γερασηνῶν.* |
| | *2 καὶ ἐξελθόντος αὐτοῦ* |
| | *ἐκ τοῦ πλοίου* |
| *ὑπήντησαν αὐτῷ* | *εὐθὺς ὑπήντησεν αὐτῷ* |
| *δύο δαιμονιζόμενοι* | |
| *ἐκ τῶν μνημείων ἐξερχόμενοι,* | *ἐκ τῶν μνημείων* |
| *χαλεποὶ λίαν,* | |
| | *ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ,* |
| | *3 ὃς τὴν κατοίκησιν εἶχεν* |
| | *ἐν τοῖς μνήμασιν·* |
| | *καὶ οὐδὲ ἁλύσει οὐκέτι οὐδεὶς ἐδύνατο αὐτὸν δῆσαι,* |
| | *4 διὰ τὸ αὐτὸν πολλάκις πέδαις καὶ ἁλύσεσιν δεδέσθαι καὶ διεσπάσθαι ὑπ αὐτοῦ τὰς ἁλύσεις καὶ τὰς πέδας συντετρῖφθαι,* |
| *ὥστε μὴ ἰσχύειν τινὰ* | *καὶ οὐδεὶς ἴσχυεν* |
| *παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης.* | *αὐτὸν δαμάσαι·* |
| | *5 καὶ διὰ παντὸς νυκτὸς καὶ ἡμέρας ἐν τοῖς μνήμασιν καὶ ἐν τοῖς ὄρεσιν ἦν κράζων καὶ κατακόπτων ἑαυτὸν λίθοις.* |
| | *6 καὶ ἰδὼν τὸν Ἰησοῦν* |
| | *ἀπὸ μακρόθεν* |
| | *ἔδραμεν καὶ προσεκύνησεν αὐτῷ,* |
| *29 καὶ ἰδοὺ ἔκραξαν* | *7 καὶ κράξας φωνῇ μεγάλῃ* |
| *λέγοντες,* | *λέγει,* |
| *Τί ἡμῖν καὶ σοί,* | *Τί ἐμοὶ καὶ σοί,* |
| *υἱὲ τοῦ θεοῦ* | *Ἰησοῦ υἱὲ τοῦ θεοῦ* |
| | *τοῦ ὑψίστου* |
| *ἦλθες ὧδε πρὸ καιροῦ* | *ὁρκίζω σε τὸν θεόν,* |
| *βασανίσαι ἡμᾶς* | *μή με βασανίσῃς.* |
| | *8 ἔλεγεν γὰρ αὐτῷ,* |
| | *Ἔξελθε* |
| | *τὸ πνεῦμα τὸ ἀκάθαρτον* |
| | *ἐκ τοῦ ἀνθρώπου.* |

| Matt 8:28-34 | Mark 5:1-20 |
| --- | --- |
| | 9 καὶ ἐπηρώτα αὐτόν, |
| | Τί ὄνομά σοι |
| | καὶ λέγει αὐτῷ, |
| | Λεγιὼν ὄνομά μοι, |
| | ὅτι πολλοί ἐσμεν. |
| | 10 καὶ παρεκάλει αὐτὸν πολλὰ |
| | ἵνα μὴ αὐτὰ ἀποστείλῃ |
| | ἔξω τῆς χώρας. |
| 30 ἦν δὲ μακρὰν ἀπ αὐτῶν | 11 Ἦν δὲ ἐκεῖ πρὸς τῷ ὄρει |
| ἀγέλη χοίρων πολλῶν | ἀγέλη χοίρων μεγάλη |
| βοσκομένη. | βοσκομένη· |
| 31 οἱ δὲ δαίμονες | 12 καὶ |
| παρεκάλουν αὐτὸν λέγοντες, | παρεκάλεσαν αὐτὸν λέγοντες, |
| Εἰ ἐκβάλλεις ἡμᾶς, | |
| ἀπόστειλον ἡμᾶς | Πέμψον ἡμᾶς |
| εἰς τὴν ἀγέλην τῶν χοίρων. | εἰς τοὺς χοίρους, |
| | ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν. |
| 32 καὶ εἶπεν αὐτοῖς, Ὑπάγετε. | 13 καὶ ἐπέτρεψεν αὐτοῖς. |
| οἱ δὲ ἐξελθόντες | καὶ ἐξελθόντα |
| | τὰ πνεύματα τὰ ἀκάθαρτα |
| ἀπῆλθον εἰς τοὺς χοίρους· | εἰσῆλθον εἰς τοὺς χοίρους, |
| καὶ ἰδοὺ ὥρμησεν | καὶ ὥρμησεν |
| πᾶσα ἡ ἀγέλη | ἡ ἀγέλη |
| κατὰ τοῦ κρημνοῦ εἰς τὴν | κατὰ τοῦ κρημνοῦ εἰς τὴν |
| θάλασσαν, | θάλασσαν, |
| | ὡς δισχίλιοι, |
| καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν. | καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ. |
| 33 οἱ δὲ βόσκοντες | 14 καὶ οἱ βόσκοντες αὐτοὺς |
| ἔφυγον, καὶ ἀπελθόντες | ἔφυγον καὶ |
| εἰς τὴν πόλιν ἀπήγγειλαν | ἀπήγγειλαν εἰς τὴν πόλιν |
| πάντα καὶ τὰ τῶν δαιμονιζομένων | |
| | καὶ εἰς τοὺς ἀγρούς· |
| 34 καὶ ἰδοὺ πᾶσα ἡ πόλις | |
| ἐξῆλθεν | καὶ ἦλθον |
| | ἰδεῖν τί ἐστιν τὸ γεγονός. |
| εἰς ὑπάντησιν τῷ Ἰησοῦ, | 15 καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν, |
| | καὶ θεωροῦσιν |

| Matt 8:28-34 | Mark 5:1-20 |
|---|---|
| | *τὸν δαιμονιζόμενον καθήμενον* |
| | *ἱματισμένον καὶ σωφρονοῦντα,* |
| | *τὸν ἐσχηκότα τὸν λεγιῶνα,* |
| | *καὶ ἐφοβήθησαν.* |
| | *16 καὶ διηγήσαντο αὐτοῖς* |
| | *οἱ ἰδόντες* |
| | *πῶς ἐγένετο τῷ δαιμονιζομένῳ* |
| | *καὶ περὶ τῶν χοίρων.* |
| *καὶ ἰδόντες* | *17 καὶ ἤρξαντο* |
| *αὐτὸν παρεκάλεσαν* | *παρακαλεῖν αὐτὸν* |
| *ὅπως μεταβῇ* | *ἀπελθεῖν* |
| *ἀπὸ τῶν ὁρίων αὐτῶν.* | *ἀπὸ τῶν ὁρίων αὐτῶν.* |
| | *18 καὶ ἐμβαίνοντος αὐτοῦ* |
| | *εἰς τὸ πλοῖον* |
| | *παρεκάλει αὐτὸν* |
| | *ὁ δαιμονισθεὶς* |
| | *ἵνα μετ αὐτοῦ ᾖ.* |
| | *19 καὶ οὐκ ἀφῆκεν αὐτόν,* |
| | *ἀλλὰ λέγει αὐτῷ,* |
| | *Ὕπαγε εἰς τὸν οἶκόν σου* |
| | *πρὸς τοὺς σούς,* |
| | *καὶ ἀπάγγειλον αὐτοῖς* |
| | *ὅσα ὁ κύριός σοι πεποίηκεν* |
| | *καὶ ἠλέησέν σε.* |
| | *20 καὶ ἀπῆλθεν καὶ ἤρξατο* |
| | *κηρύσσειν ἐν τῇ Δεκαπόλει* |
| | *ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς,* |
| | *καὶ πάντες ἐθαύμαζον.* |

108 words out of 458 words = 24%